# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 15

## 1921

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΣΥΝΟΔΙΚΗ ΠΡΑΞΙΣ

## ΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΠΡΩΤΗΣ ΙΟΥΣΤΙΝΙΑΝΗΣ

## ΓΑΒΡΙΗΛ

Ἐν τῷ ὑπ' ἀριθμὸν ΣΕ 51 καταλοίπῳ τοῦ Λάμπρου εὑρίσκομεν δύο ἀντίγραφα τῆς συνοδικῆς πράξεως τοῦ ἀρχιεπισκόπου τῆς πρώτης Ἰουστινιανῆς Γαβριήλ, τῆς εὑρισκομένης ἐν φ. 102α καὶ ἑξῆς τοῦ πολυμιγοῦς Παρισινοῦ κώδικος 3067. Τῶν ἀντιγράφων τούτων τὸ μὲν ἐγένετο ἀπ' εὐθείας ἐκ τοῦ κώδικος, τὸ δὲ ἐκ τούτου προετοιμασθέντος οὕτω ὑπὸ τοῦ Λάμπρου τοῦ κειμένου πρὸς ἔκδοσιν.

Ἡ συνοδικὴ αὕτη πρᾶξις ἔχει δημοσιευθῆ ὑπὸ τοῦ Δήμιτσα [1], ὡς ὁ Λάμπρος σημειοῖ, ἡ δημοσίευσις ὅμως αὕτη τοῦ Δήμιτσα ἐθεωρήθη ὑπὸ τοῦ Λάμπρου ἀτελής, ἐκ τούτου δὲ ἐξηγεῖται ἡ πρὸς ἔκδοσιν προετοιμασία τῆς συνοδικῆς ταύτης πράξεως. Σύγκρισις τῶν δύο κειμένων δεικνύει διαφοράς τινας μεταξὺ τῶν δύο κειμένων ἀξίας ὁπωσδήποτε σημειώσεως καὶ προσοχῆς καὶ δικαιολογεῖ ἀρκούντως τὴν ἐκ νέου ἔκδοσιν τῆς συνοδικῆς ταύτης πράξεως τοῦ Γαβριήλ. [2]

Τὸ κείμενον ἐξ οὗ ἐγένετο ὑπὸ τοῦ Λάμπρου ἡ ἀντιγραφή, δὲν ἦτο τὸ πρωτόγραφον. Ὁ Λάμπρος σημειοῖ ἐν τέλει «ἄνευ σφραγῖδος. Ἡ ὑπογραφὴ διὰ μονοκονδυλιᾶς, ἀλλ' οὐχ ἧττον ἀντίγραφον».

1. Πρβλ. Περιοδικὸν «Σωτήρ» τομ. 14 τοῦ 1891 σελ. 267 ὑπὸ τὴν ἐπιγραφὴν «ἓν ἀνέκδοτον ἔγγραφον (βοῦλλα) τοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου τῆς πρώτης Ἰουστινιανῆς Γαβριήλ»

2. Περὶ τοῦ ἀρχιεπισκόπου τῆς πρώτης Ἰουστινιανῆς Γαβριὴλ πρβλ. τὰ προλεγόμενα ἐν τῇ ἐκδόσει τῆς πράξεως ταύτης ἐν τῷ Σωτῆρι (ἐν ἀν.) καὶ ἰδίᾳ τὰ ὑπὸ τοῦ Legrand γραφέντα ἐν «Revue des études grecques» (Τομ. 4 ἀρ. 14 σελ. 182—189). Πρβλ. ἔτι Legrand, Notice bibl. sur Jean et Theodosius Zygomalas (1889) σελ. 71 ἑ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὁ Marc ἐν σελίδι 98 ἀρ. 8 τοῦ ἔργου αὐτοῦ «Plan eines corpus der griechichen Urkunden» ἀναφέρει τὸ ἀντίγραφον τοῦ Λάμπρου τῆς πράξεως ταύτης τοῦ Γαβριήλ, ἀναφέρων ἔτι τὰ ἀνωτέρω σημειωθέντα ἔργα τοῦ Legrand καὶ Δήμιτσα ὡς καὶ ἄρθρον τοῦ Ἀνθίμου Ἀμασείας δημοσιευθὲν ἐν τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ»[1] ὑπὸ τὴν ἐπιγραφὴν «ὁ Ἀχριδῶν Γαβριήλ».

Κ. Ι. Δ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ

## *Συνοδικὴ πρᾶξις τοῦ ἀρχιεπισκόπου τῆς πρώτης Ἰουστινιανῆς Γαβριὴλ*

Γαβριὴλ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος τῆς πρώτης Ἰουστινιανῆς Ἀχριδῶν καὶ πάσης Βουλγαρίας, Σερβίας, Ἀλβανίας, Μολδαβίας, Οὐγκροβλαχίας καὶ τῶν λοιπῶν.

Τάξις ἀρίστη συνέχει πάντα τά τε οὐράνια καὶ τὰ ἐπίγεια. καὶ οἱ διαταξάμενοι τὴν ἐκκλησιαστικὴν κατάστασιν καὶ εὐταξίαν θεοφόροι πατέρες ἡμῶν τῷ θείῳ πνεύματι κινούμενοι πανσόφως ἐξέθεντο καὶ ἁρμοζόντως τὰ τῆς ἐκκλησίας μυστήρια ἅπαντα. Δι᾿ αὐτῶν γὰρ πᾶς τις μυούμενος καὶ νοητῶς φωτιζόμενος καὶ ὁδηγούμενος πρὸς θείαν ὁδὸν τῶν ἐντολῶν τοῦ θεοῦ κληρονόμος γίνεται τῆς θείας αὐτοῦ δόξης καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν. Αὐτὸς γὰρ ὁ καθηγητὴς καὶ διδάσκαλος τῆς σωτηρίας ἡμῶν Ἰησοῦς Χριστὸς ὁ θεάνθρωπος, ἐν γῇ συναναστραφεὶς καὶ ἱεραρχήσας ὡς ἄνθρωπος, πάντα τὰ τοιαῦτα μυστήρια ἐνήργησε, τὰ μὲν δι᾿ ἑαυτοῦ, τὰ δὲ διὰ τῶν θείων καὶ ἱερῶν αὐτοῦ μαθητῶν καὶ Ἀποστόλων, κἀντεῦθεν τὸ βάπτισμα καὶ ἡ ἀρχιερωσύνη καὶ τὰ λοιπὰ ἀλληλοδιαδόχως κατελείφθησαν παρὰ τῶν θεοκηρύκων Ἀποστόλων οἷά τις κλῆρος πατροπαράδοτος πρὸς τοὺς μετὰ ταῦτα καὶ τρόπῳ καὶ προθέσει διαδόχους ἐκείνων γενησομένους. Διὸ δὴ καὶ ἡ μετριότης ἡμῶν, ἀρρήτοις θεοῦ κρίμασιν τὴν πνευματικὴν προστασίαν καὶ διοίκησιν τῆς Χριστοῦ ἐκκλησίας ἐμπιστευθεῖσα, σπου-

---

1. Τομ. 14 (1894—1895) σελ. 172—173.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δὴν κεκίνηται πᾶσαν ταῖς ἁπανταχοῦ ὑφ᾽ ἡμᾶς τελούσαις ἐκκλησίαις ποιμένων που πνευματικῶν στερουμέναις, τοὺς ἀξίους αὐτῶν προστησομένους ἐγκαταστῆσαι. Ἔνθεν τοι καὶ τῆς ἁγιωτάτης μητροπόλεως Πελαγονίας καὶ Περλεάπου θανάτῳ τὸν ἴδιον ἀποβαλούσης ποιμένα πρὸ ὀλίγου, ἡ μετριότης ἡμῶν τὸ δίκαιον ἔκρινεν ἐπὶ πολὺ στερίσκεσθαι ταύτην ποιμένος πνευματικοῦ. ἀλλ᾽ ὥσπερ κἂν ταῖς ἑκασταχοῦ ἐκκλησίαις τὴν προσήκουσαν ἐπιμέλειαν ἐποίει τε καὶ ποιεῖ, πρὸς τὸ ἔχειν αὐτὰς γνησίους τε καὶ δικαίους ποιμένας καὶ διδασκάλους, οὕτω κἂν ταύτῃ δεῖν ἔγνω προχειρίσασθαι γνήσιον ποιμένα καὶ ἀρχιερέα. Ψήφῳ τοίνυν κανονικῇ ἱερωμένων παρὰ τῶν καθευρεθέντων ἱερωτάτων μητροπολιτῶν, τοῦ τε Βοδενῶν κυροῦ Χαρίτωνος, τοῦ Σπατίας καὶ Μουζακίας κυροῦ Παϊσίου, τοῦ Σμύρνης κυροῦ Μακαρίου, τοῦ προέδρου Χριστουπόλεως κυροῦ Διονυσίου, ἐπεὶ ἐξελέγη καὶ εὑρέθη παρ᾽ αὐτῶν ἄξιος καὶ ἁρμόδιος ὁ τιμιώτατος ἐν ἱερομονάχοις κὺρ Ἱερεμίας, ἀνὴρ εὐλαβὴς καὶ χρήσιμος καὶ ἐξ ἁπαλῶν ὀνύχων τῷ σεμνῷ βίῳ διαπρέψας ἔν ἔργῳ τε καὶ λόγῳ, τοῦτον ἡ μετριότης ἡμῶν τῇ ἐπικλήσει τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος γνήσιον μητροπολίτην Πελαγονίας τε καὶ Περλεάπου κεχειροτόνηκεν. Ὀφείλει τοίνυν ὁ ἱερώτατος μητροπολίτης Πελαγονίας τε καὶ Περλεάπου κὺρ Ἱερεμίας, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἀπελθεῖν || εἰς τὴν λαχοῦσαν αὐτῷ θεόθεν ἐκκλησίαν καὶ ἐπιλαβέσθαι φ. 102β
αὐτῆς καὶ πάσης ἐνορίας αὐτῆς καὶ εἰσηγεῖσθαι καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστεπώνυμον λαὸν Κυρίου ταῖς τε ἀπὸ γλώττης νουθεσίαις καὶ ταῖς ἀπὸ τοῦ ἰδίου βίου χειραγωγίαις πάντα τὰ ψυχωφελῆ καὶ σωτήρια δόγματα καὶ ἀποστολικῶς εἰπεῖν τοῖς πᾶσι τὰ πάντα γίνεσθαι, ἵνα πάντας ἢ τοὺς πλείους κερδήσῃ, ἔχων ἄδειαν καὶ ἐξουσίαν ἱερουργεῖν ἐν αὐτῇ καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ αὐτῆς ἀκωλύτως, μετὰ καὶ τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους χειροτονεῖν ἐκ τῶν ἐν αὐτῇ καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ αὐτῆς καὶ εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα πνευματικοὺς πατέρας ἐγκαθιστᾶν, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ τῷ ἑαυτοῦ καὶ τἄλλα πάντα τὰ ἀρχιερατικὰ ποιεῖν ἀκωλύτως ὡς γνήσιος μητροπολίτης Πελαγονίας καὶ Περλεάπου καὶ ὢν καὶ καλούμενος, ὀφείλων ἐπι-

1. ἐφ᾽ 3. ἔνθέν 4. (καὶ κατωτέρω πανταχοῦ) Πελαγωνίας 5. προολίγου 5. ἐπιπολὺ στερήσκεσθαι 7· ποιεῖν 10. κανονικῶν 11. χαρίτονος 23. γλώτης 32. τἄλλα ἀκολύτως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαβέσθαι καὶ τῶν ἀνηκόντων τῇ ἐκκλησίᾳ ταύτῃ κτημάτων τε καὶ πραγμάτων καὶ τῶν λοιπῶν εἰσοδημάτων καὶ δικαίων αὐτῆς, ὀφειλόντων δὲ καὶ τῶν ἐν αὐτῇ καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ αὐτῆς εὑρισκομένων ἐντιμοτάτων κληρικῶν, τιμιωτάτων ἱερομονάχων καὶ πνευματικῶν, θεοσεβεστάτων ἱερέων, χρησιμωτάτων ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν ὀφειλομένην ἀπονέμειν αὐτῷ τιμὴν καὶ αἰδῶ καὶ πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ κατὰ πάντα καὶ ὑπακούειν αὐτοῦ ἐφ' οἷς ἂν ἔχοι λέγειν αὐτοῖς ψυχωφελέσι τε καὶ σωτηριώδεσι καὶ ἀπονέμειν αὐτῷ χωρίς τινος λόγου πάντα τὰ ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα τὰ ἀπὸ τῶν κανονικῶν τῶν ἱερέων συνοικεσίων, πανηγύρεων, τῆς συνήθους καὶ νενομισμένης ζητείας καὶ τῶν λοιπῶν ἐθίμων τῷ τόπῳ δικαίων, παρὰ μηδενὸς ἐμποδιζόμενος ἢ ἐπηρεαζόμενος ἢ ἐνοχλούμενος ἀναιτίως ὅλως ποτέ, ἱερωμένου καὶ λαϊκοῦ. Ὁ γὰρ τὸ τοιοῦτον διαπράξασθαι τολμήσας καὶ παρὰ θεοῦ ὀργῆς καὶ ἀγανακτήσεως τεύξεται καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ ἐκκλησιαστικῷ ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου καὶ αἰωνίου αὐστηρῶς παιδευθήσεται ὡς αὐθάδης καὶ ἀλαζὼν καὶ ἀνυπότακτος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τῆς ἡμῶν μετριότητος.

Ἐπὶ γὰρ τούτοις πᾶσιν ἐγένετο καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος καὶ ἐπεδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Πελαγονίας τε καὶ Περλεάπου κὺρ Ἱερεμίᾳ τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. Ἐν ἔτει ,ζηγ' μηνὶ Μαρτίῳ ἰνδικτιῶνος ιγης.

† Γαβριὴλ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος τῆς πρώτης Ἰουστινιανῆς Ἀχρειδῶν καὶ πάσης Βουλγαρίας, Σερβίας, Ἀλβανίας, Μολδοβλαχίας, Οὐγκροβλαχίας καὶ τῶν λοιπῶν.

1. τὲ 4. ἐντιμωτάτων 6. χρυστωνύμου 8. ἔχει 8. σωτηριώδεσι ἐκ τοῦ σωτηρωώδεσι (η) 9. χωρὶς τινὸς 12. ἐπερεαζόμενος 13. ἱερομένου 20. πράξις 21. ἐπεδώθη

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006